κατὰ τοῦ Δανιηλ περὶ ἧς κατηγορήσουσιν αὐτοῦ πρὸς τὸν βασιλέα, 𝔊
6 [6]καὶ εἶπαν Δεῦτε στήσωμεν ὁρισμὸν καθ' ἑαυτῶν ὅτι πᾶς ἄνθρω-
πος οὐκ ἀξιώσει ἀξίωμα καὶ οὐ μὴ εὔξηται εὐχὴν ἀπὸ παντὸς θεοῦ
ἕως ἡμερῶν τριάκοντα, ἀλλ' ἢ παρὰ Δαρείου τοῦ βασιλέως· εἰ
δὲ μή, ἀποθανεῖται· ἵνα ἡττήσωσι τὸν Δανιηλ ἐναντίον τοῦ βασι-
λέως, καὶ ῥιφῇ εἰς τὸν λάκκον τῶν λεόντων. ᾔδεισαν γὰρ ὅτι
Δανιηλ προσεύχεται καὶ δεῖται κυρίου τοῦ θεοῦ αὐτοῦ τρὶς τῆς
7 ἡμέρας. [7]τότε προσήλθοσαν οἱ ἄνθρωποι ἐκεῖνοι καὶ εἶπαν ἐναντίον
8 τοῦ βασιλέως [8]Ὁρισμὸν καὶ στάσιν ἐστήσαμεν ὅτι πᾶς ἄνθρωπος,
ὃς ἂν εὔξηται εὐχὴν ἢ ἀξιώσῃ ἀξίωμά τι παρὰ παντὸς θεοῦ ἕως
ἡμερῶν τριάκοντα ἀλλ' ἢ παρὰ Δαρείου τοῦ βασιλέως, ῥιφήσεται
9 εἰς τὸν λάκκον τῶν λεόντων. [9]καὶ ἠξίωσαν τὸν βασιλέα ἵνα στήσῃ
τὸν ὁρισμὸν καὶ μὴ ἀλλοιώσῃ αὐτόν, διότι ᾔδεισαν ὅτι Δανιηλ
προσεύχεται καὶ δεῖται τρὶς τῆς ἡμέρας, ἵνα ἡττηθῇ διὰ τοῦ βασι-
10 λέως καὶ ῥιφῇ εἰς τὸν λάκκον τῶν λεόντων. [10]καὶ οὕτως ὁ βα-
11 σιλεὺς Δαρεῖος ἔστησε καὶ ἐκύρωσεν. [11]ἐπιγνοὺς δὲ Δανιηλ
τὸν ὁρισμόν, ὃν ἔστησε κατ' αὐτοῦ, θυρίδας ἤνοιξεν ἐν τῷ ὑπερῴῳ
αὐτοῦ κατέναντι Ιερουσαλημ καὶ ἔπιπτεν ἐπὶ πρόσωπον αὐτοῦ
12 τρὶς τῆς ἡμέρας, καθὼς ἐποίει ἔμπροσθεν, καὶ ἐδεῖτο. [12]καὶ αὐτοὶ

6 9 > 88

---

6 καὶ ἀμβλάκημα οὐχ εὗρον κατ' αὐτοῦ, ὅτι πιστὸς ἦν. [6]καὶ εἶπον θ'
οἱ τακτικοὶ Οὐχ εὑρήσομεν κατὰ Δανιηλ πρόφασιν εἰ μὴ ἐν νομί-
7 μοις θεοῦ αὐτοῦ. [7]τότε οἱ τακτικοὶ καὶ οἱ σατράπαι παρέστη-
σαν τῷ βασιλεῖ καὶ εἶπαν αὐτῷ Δαρεῖε βασιλεῦ, εἰς τοὺς αἰῶνας
8 ζῆθι· [8]συνεβουλεύσαντο πάντες οἱ ἐπὶ τῆς βασιλείας σου στρατη-
γοὶ καὶ σατράπαι, ὕπατοι καὶ τοπάρχαι τοῦ στῆσαι στάσει βασι-
λικῇ καὶ ἐνισχῦσαι ὁρισμόν, ὅπως ὃς ἂν αἰτήσῃ αἴτημα παρὰ παν-
τὸς θεοῦ καὶ ἀνθρώπου ἕως ἡμερῶν τριάκοντα ἀλλ' ἢ παρὰ σοῦ,
9 βασιλεῦ, ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λεόντων· [9]νῦν οὖν,
βασιλεῦ, στῆσον τὸν ὁρισμὸν καὶ ἔκθες γραφήν, ὅπως μὴ ἀλλοι-
10 ωθῇ τὸ δόγμα Μήδων καὶ Περσῶν. [10]τότε ὁ βασιλεὺς Δαρεῖος
11 ἐπέταξεν γραφῆναι τὸ δόγμα. [11]καὶ Δανιηλ, ἡνίκα ἔγνω ὅτι ἐν-
ετάγη τὸ δόγμα, εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ αἱ θυρίδες ἀν-
εῳγμέναι αὐτῷ ἐν τοῖς ὑπερῴοις αὐτοῦ κατέναντι Ιερουσαλημ, καὶ
καιροὺς τρεῖς τῆς ἡμέρας ἦν κάμπτων ἐπὶ τὰ γόνατα αὐτοῦ καὶ
προσευχόμενος καὶ ἐξομολογούμενος ἐναντίον τοῦ θεοῦ αὐτοῦ,
12 καθὼς ἦν ποιῶν ἔμπροσθεν. [12]τότε οἱ ἄνδρες ἐκεῖνοι παρετήρησαν

5 αμπλακημα Bc: cf. Thack. § 7, 16 || 6 νομιμοις] νομοις A || 8 του > B† | στασει βασιλικη] -σιν -κην A | αιτηση] -σηται A: item in 13, cf. 14 | ανθρωπων A || 9 τον > A | μηδων .. περσων] tr. B hic, non in 13. 16, cf. 8 20

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246994X/912 UNIVERSITÄT LEIPZIG